KEY

TO

DR. WM. SMITH'S

INITIA GRÆCA, PART I.

This Key is entrusted confidentially to

....

....

being intended for Schoolmasters, Tutors, and Instructors only.

LONDON:
JOHN MURRAY, ALBEMARLE STREET.
1891.

Price One Shilling.



KEY TO INITIA GRÆCA.

EXERCISE I.

1. ἡ νύμφη θαυμάζει τὴν πηγήν. 2. αἱ νύμφαι θαυμάζουσι τὴν χώραν 3. ἡ Ἀθηνᾶ θαυμάζει τὴν ἀλήθειαν. 4. αἱ Μοῦσαι θαυμάζουσι τὴν ἀλήθειαν. 5. ἡ βασίλεια θαυμάζει τὴν δίκην. 6. αἱ βασίλειαι θαυμάζουσι τὰς πηγάς. 7. αἱ Μοῦσαι θαυμάζουσι τὰς πηγάς. 8. ἡ βασίλεια θαυμάζει τὰς νύμφας. 9. ἡ Ἀθηνᾶ θαυμάζει τὰς νύμφας. 10. αἱ Μοῦσαι θαυμάζουσ. τὰς νύμφας.

EXERCISE II.

1. ἡ θεοσέβειά ἐστι ῥίζα τῆς σοφίας. 2. ἡ θεοσέβειά ἐστι πηγὴ τῆς φιλίας. 3. ἡ θεοσέβειά ἐστι ῥώμη τῆς ψυχῆς. 4. ἡ ἀρετή ἐστιν ἀρχὴ τῆς σοφίας. 5. ἡ ἀρετή ἐστι πηγὴ τῆς φιλίας. 6. ἡ ἀρετή ἐστι ῥίζα τῆς φιλίας. 7. ἡ ἐπιθυμία τῆς ἀρετῆς ἐστι σοφία. 8. ἡ ἐπιθυμία τῆς ἀρετῆς ἐστιν ἀρχὴ τῆς σοφίας. 9. ἡ ἐπιθυμία τῆς ἀρετῆς ἐστι πηγὴ τῆς σοφίας. 10. ἡ ἐπιθυμία τῆς ἀρετῆς ἐστί ῥώμη τῆς ψυχῆς.

EXERCISE III.

1. ὁ πολίτης θαυμάζει τὴν τοῦ νεανίου σοφίαν. 2. οἱ πολῖται τὴν τῶν νεανιῶν σοφίαν θαυμάζουσιν. 3. ὁ Σκύθης θαυμάζει τὴν Ὀρέστου φιλίαν. 4. οἱ Σκύθαι θαυμάζουσι τὴν Εὐριπίδου φιλίαν. 5. ὁ Ἀναξαγόρου μαθητὴς τοὺς σοφίστας θαυμάζει. 6. οἱ τῶν σοφιστῶν μαθηταὶ θαυμάζουσιν Εὐριπίδην. 7. ὁ Εὐριπίδης ἦν μαθητὴς τῶν σοφιστῶν. 8. ὁ νεανίας ἦν μαθητὴς Γοργίου. 9. οἱ τῶν σοφιστῶν μαθηταὶ θαυμάζουσι τὴν Εὐριπίδου σοφίαν. 10. οἱ Πρωταγόρου μαθηταὶ ἦσαν νεανίαι.

EXERCISE IV.

1. ὁ χρυσὸς θησαυρός ἐστι τῆς νήσου. 2. (ὁ)χρυσὸς καὶ (ὁ)ἄργυρός εἰσι θησαύρω τῆς νήσου. 3. οἱ θεοὶ θαυμάζουσι τοὺς θησαυροὺς τῆς νήσου. 4. ὁ χρυσὸς βάσανός ἐστι τῶν τοῦ ἀνθρώπου τρόπων. 5. ὁ ἄργυρος δόλος ἐστὶ τοῖς ἀνθρώποις. 6. (ὁ)χρυσὸς καὶ (ὁ)ἄργυρος δόλος εἰσὶ τοῖς ἀνθρώποις. 7. οἱ ἄνθρωποι θαυμάζουσι τὸν τῆς αμπέλου εὑρετήν. 8. ἡ ἄμπελος θησαυρός ἐστι τοῖς ἀνθρώποις. 9. (ὁ χρυσὸς καὶ (ὁ)ἄργυρός εἰσι τὼ τῆς κακίας ὑπηρέτα. 10. οἱ ἄνθρωποι θαυμάζουσι τὸν τῶν θεῶν σῖτον

Exercise V.

1. τὸ δῶρον Διονύσου ἐστὶν ἡ ἄμπελος. 2. δῶρον τῶν θεῶν ἐστιν ὁ σῖτος. 3. ἡ νύμφη θαυμάζει τὰ δένδρα καὶ τὰ φύλλα. 4. ὁ νεανίας θαυμάζει τὸ ῥόδον καὶ τὸ ἴον. 5. ὁ πολίτης θαυμάζει τὰ ῥόδα καὶ τὰ ἴα. 6. αἱ Μοῦσαι θαυμάζουσι τὸ οἰκητήριον τῶν θεῶν. 7. ὁ ἄνθρωπος θαυμάζει τὸ φάρμακον τῆς νόσου. 8. ἡ θεοσέβειά ἐστι φάρμακον τῆς κακίας. 9. οἱ ἄνθρωποι θαυμάζουσι τὰ τῆς νήσου δένδρα. 10. οἱ ἄνθρωποι θαυμάζουσι τὰ τῶν νήσων ῥόδα.

Exercise VI.

1. ὁ νεανίας ἦν ὁ τοῦ Μίνω υἱός. 2. ἡ νύμφη ἀνώγεων ἔχει. 3. ὁ νεανίας ταὼν ἔχει. 4. οἱ πολῖται οὔτε βωμοὺς οὔτε νεὼς ἔχουσιν. 5. οἱ νεανίαι ἦσαν οἱ Ἀνδρόγεω υἱοί. 6. οἱ ἄνθρωποι λαγὼς ἔχουσιν.

Exercise VII.

A—1. ὁ θεός ἐστιν ἀγαθός. 2. ἡ Μοῦσά ἐστιν ἀγαθή. 3. τὸ δένδρον ἐστὶν ἀγαθόν. 4. οἱ θεοί εἰσιν ἀγαθοί. 5. αἱ Μοῦσαί εἰσιν ἀγαθαί. 6. τὰ δένδρα ἐστὶν ἀγαθά. 7. ὁ νεανίας ἦν φίλιος τοῖς σοφισταῖς. 8. ἡ Μοῦσα ἦν φιλία τῷ Εὐριπίδῃ. 9. οἱ θεοὶ ἦσαν φίλιοι τοῖς μαθηταῖς. 10. αἱ Μοῦσαι ἦσαν φίλιαι τῷ Εὐριπίδῃ.

B.—1. ἡ καλὴ βασίλεια θαυμάζει τὰ ῥόδα καὶ τὰ ἴα. 2. τὰ ῥόδα καὶ τὰ ἴα καλά ἐστιν. 3. τὰ τοῦ θεοῦ δῶρα καλά ἐστιν. 4. τὰ δῶρα τοῦ θεοῦ ἐστι φίλια τῇ ἀρετῇ. 5. οἱ πολῖται θαυμάζουσι τὴν καλὴν βασίλειαν. 6. οἱ σοφοὶ ἀδελφοί εἰσιν Ἀναξαγόρου μαθηταί. 7. ὕπνος καὶ θάνατός εἰσι διδύμω ἀδελφώ. 8. ὁ Εὐριπίδης ἦν φίλιος τοῖς σοφοῖς μαθηταῖς Ἀναξαγόρου. 9. οἱ ἄνθρωποι θαυμάζουσι τὰ τοῦ θεοῦ καλὰ δῶρα. 10. οι σοφοὶ μαθηταὶ Ἀναξαγόρου ἦσαν φίλιοι Εὐριπίδῃ.

Exercise VIII.

1. ὁ νοῦς τῶν μαθητῶν ἐστι πιστός. 2. οἱ νεανίαι πιστὸν νοῦν ἔχουσιν. 3. ὁ θεός ἐστι ἵλεως τῷ ἀνθρώπῳ. 4. οἱ πολῖται χρυσοῦς στεφάνους ἔχουσιν. 5. ὁ ἀδελφὸς ἦν εὔνους τοῖς συφισταῖς. 6. οἱ ἀδελφοὶ ἦσαν εὖνοι τοῖς μαθηταῖς. 7. ὁ τάφος ἔχει τὰ Ἀναξαγόρου ὀστᾶ. 8. οἱ πολῖται ἦσαν εὖνοι τοῖς νεανίαις. 9. χρυσοῖ στέφανοί εἰσιν ἀνδρείας σημεῖον. 10. οἱ πολῖται ἁπλοῦς νοῦς ἔχουσιν.

Exercise IX.

1. ὁ τῆς βασιλείας φύλαξ ἐστὶ πιστός. 2. οἱ πιστοὶ φύλακες τοῖς πολίταις εἰσὶν εὖνοι. 3. αἱ μετάλλων φλέβες εἰσὶ καλαί. 4. οἱ τῶν Ἀράβων ἵπποι εἰσὶ καλοί. 5. οἱ τοῦ κήρυκος ἀδελφοὶ τοῖς φύλαξίν εἰσιν εὖνοι. 6. οἱ φύλακες τοῖς κήρυξίν εἰσιν εὖνοι. 7. ἡ νῆσος ἔχει τοὺς μύρμηκας καὶ τοὺς ὄρτυγας. 8. οἱ ὄνυχες τῶν γυπῶν ἰσχυροί εἰσι. 9. οἱ τῶν φυλάκων ἀδελφοὶ ἰσχυροί εἰσι. 10. τὸ φάρμακόν ἐστι τοῖς φύλαξιν αἰτία θανάτου.

Exercise X.

1. αἱ τοῦ παιδός λαμπάδες ἦσαν καλαί. 2. οἱ τῆς νήσου ὄρνιθες ἦσαν καλοί. 3. οἱ τῶν ὀρνίθων ὄνυχες ἦσαν ἰσχυροί. 4. οἱ ἄνθρωποι ἦσαν προδόται τῆς πατρίδος. 5. οἱ παῖδες ἔχουσιν ἐλπίδας ἀγαθάς. 6. ὁ κῆρυξ ἦν τῷ καλῷ παιδὶ φίλιος. 7. ὁ τῶν παίδων βίος πολύπονός ἐστι. 8. αἱ τῶν παιδῶν ἐλπίδες χρυσαῖ ἦσαν. 9. αἱ χρυσαὶ λαμπάδες εἰσὶν ἀνδρείας σημεῖον. 10. τὸ φάρμακόν ἐστι τοῖς παισίν αἰτία θανάτου.

Exercise XI.

1. οἱ ὄνυχες καὶ οἱ ὀδόντες τῶν λεόντων ἰσχυροί εἰσι. 2. οἱ λέοντες ἔχουσιν ἰσχυροὺς ὀδόντας καὶ ὄνυχας. 3. οἱ τῶν γιγάντων παῖδές εἰσιν ἰσχυροί. 4. οἱ τοῦ Ποίαντος παῖδες καλοὶ ἦσαν. 5. οἱ γέροντες τοῖς νεανίαις φίλιοί εἰσι. 6. οἱ τοῦ γέροντος παῖδες τοῖς σοφισταῖς φίλιοί εἰσι. 7. οι γέροντές εἰσιν εὖνοι τοῖς ἄρχουσι. 8. οἱ τῆς νύμφης ὀδόντες καλοί εἰσι. 9. ἡ ἀρχὴ τῆς νυκτός καλή ἐστι. 10. τὸ φάρμακόν ἐστιν αἰτία θανάτου τοῖς γεροῦσι.

Exercise XII.

1. οἱ τῶν Ἑλλήνων παῖδες καλοί εἰσι. 2. ἡ θυγάτηρ τῆς καλῆς μητρὸς ἀγαθή ἐστι. 3. ὁ παῖς τοῦ σοφοῦ πατρὸς ἀγαθός ἐστι. 4. οἱ παῖδες τοῦ ῥήτορος εὖνοί εἰσι. 5. οἱ Ἕλληνες τοῖς ἡγεμόσιν εὖνοί εἰσι. 6. οἱ Ἕλληνες τοῖς ῥήτορσιν εὖνοι ἦσαν. 7. ἡ νῆσος ἔχει καλὸν λιμένα. 8. ὁ ἡγεμὼν φίλιός ἐστι τῷ πατρί τοῦ παιδός. 9. ἡ τῆς θυγατρὸς μήτηρ καλή ἐστι. 10. τὸ φάρμακόν ἐστι τοῖς πατράσι καὶ ταῖς μητράσι αἰτία θανάτου.

Exercise XIII.

1. οἱ πολῖται τοὺς τῆς πόλεως πύργους θαυμάζουσι. 2. αἱ στάσεις τῆς πόλεως φοβεραί εἰσι. 3. φύσει οἱ κροκόδειλοι ἔχουσι τοὺς ὀφθαλμοὺς συός. 4. ὁ Εὐριπίδης συνέσει διάφορος ἦν. 5. οἱ λέοντες ἰσχύι διάφοροί εἰσι. 6. οἱ μαθηταὶ φρονήσει διάφοροι ἦσαν. 7. ὁ φθόνος ἐστὶν αἰτία στάσεων. 8. ἡ θεοσέβειά ἐστιν πηγὴ συνέσεως. 9. ἡ θεοσέβειά ἐστιν αἰτία τῆς πράξεως. 10. ἡ μήτηρ τὰς τῆς καλῆς θυγατρὸς πράξεις θαυμάζει.

Exercise XIV.

1. Κῦρος βασιλεὺς ἦν τῶν Περσῶν. 2. Κῦρος, ὁ τῶν Περσῶν βασιλεὺς, συνέσει διάφορος ἦν. 3. Πάτροκλος, ὁ Ἀχιλλέως φίλος ἀνδρείᾳ διάφορος ἦν. 4. οἱ Πέρσαι ἦσαν τῷ βασιλεῖ εὖνοι. 5. οἱ ἀδελφοὶ ἦσαν ταῖς πολυλόγοις γραυσὶ φίλιοι. 6. οἱ Ἕλληνες ἦσαν χρηστοὶ Κύρῳ τῷ τῶν Περσῶν βασιλεῖ. 7. Ὀδυσσεὺς ἦν Τηλεμάχου πατήρ. 8. Ἀτρεὺς ἦν Μενελάου καὶ Ἀγαμέμνονος πατήρ. 9. ὁ βασιλεὺς ἦν τοῖς τοῦ παιδὸς γονεῦσιν εὔνους. 10. ὁ βασιλεὺς ἦν Ὀδυσσέως φίλος.

EXERCISE XV.

1. οἱ ἥρωες χρυσοῦς στεφάνους ἔχουσιν. 2. οἱ πολῖται τοῖς ἥρωσιν εὖνοί εἰσιν· 3. Λητὼ ἦν μήτηρ Ἀπόλλωνος καὶ Ἀρτέμιδος. 4. ὁ τοῦ δμωὸς βίος αλγεινός ἐστιν. 5. ὁ μαθητὴς τοῖς δμωσὶ φίλιος ἦν. 6. ὁ πατήρ ἐστιν ἄξιος αἰδοῦς. 7. Κητὼ μήτηρ τῶν Γοργόνων ἦν. 8. ἡ Μοῦσα Κλειὼ τοὺς ἱστοριογράφους θαυμάζει. 9. ἡ Μοῦσα Ἐρατὼ τοὺς λυρικοὺς ποιητὰς θαυμάζει. 10. οἱ τῶν ἡρώων παῖδες αἰδοῦς ἄξιοί εἰσιν.

EXERCISE XVI.

1. αἱ Μοῦσαι τὰς τοῦ Σοφοκλέους τραγῳδίας θαυμάζουσι. **2.** οἱ νεανίαι τὴν Μανδάνην θαυμάζουσι, τὴν τοῦ Ἀστυάγους θυγατέρα. **3.** οἱ πολῖται Περικλεῖ εὖνοι ἦσαν. **4.** οἱ ποιηταὶ Σοφοκλεῖ εὖνοι ἦσαν. **5.** οἱ θεοὶ τοῖς τοῦ Ἡρακλέους ἐκγόνοις φίλιοι ἦσαν.

EXERCISE XVII.

A.—1. τὰ σώματα καλά ἐστι. 2. ἡ ἰσχὺς τοῖς σώμασι χρηστή ἐστι. 3. ἡ ψυχὴ τῷ σώματι χρηστή ἐστι. 4. ἡ φρόνησις τοῖς τοῦ νεανίου πράγμασι χρηστή ἐστι. 5. ὁ παῖς κρατῆρα γάλακτος ἔχει. 6. τὸ γῆρας χαλεπόν ἐστι. 7. ἡ φρόνησις τῷ γήρᾳ χρηστή ἐστι. 8. τὰ τοῦ ἡγεμόνος δόρατα μακρά ἐστι. 9. τὰ τῶν βοῶν γόνατα ἰσχυρά ἐστι. 10. οἱ θῆρες μακρὰ ὦτα ἔχουσι.

B.—1. ἡ ἡδονὴ τοῦ κακοῦ κέρδους ἐστὶ μικρά. 2. τὰ τοῦ ἄστεος τείχη ἰσχυρά ἐστι. 3. τὰ μακρὰ τείχη τῷ ἄστει χρηστά ἐστι. 4. τὸ τῶν βοῶν γένος τοῖς ἀνθρώποις χρηστόν ἐστι. 5. ἡ τοῦ κακοῦ κέρδους ἐλπὶς κακίας ἀρχή ἐστι. 6. ὁ ἱστοριόγραφος τὰ τῆς ἀληθείας ἔπη θαυμάζει. 7. τὰ τῶν λυρικῶν ποιητῶν ἔπη ἐστὶ σοφά. 8. τὸ ἄστυ μακρὰ τείχη ἔχει. 9. τὸ τοῦ ἡγεμόνος κλέος τοῖς πολίταις χρηστόν ἐστι. 10. τὰ τῶν βοῶν κέρατά ἐστιν ἰσχυρά.

EXERCISE XVIII.

A.—1. ὁ μὲν βίος ἡδύς, ἡ δὲ τέχνη χαλεπή. 2. τοῖς κόλαξίν ἐστιν ἡδεῖα φωνή. 3. οἱ ἄνθρωποι τάλανές εἰσι. 4. αἱ νύμφαι τάλαιναί εἰσι. 5. τὸ τοῦ ἀνθρώπου ἱμάτιόν ἐστι μέλαν. 6. πάντες οἱ πολῖται τάλανές εἰσι. 7. τὸ χωρίον εὐρύ ἐστι. 8. ἡ τῶν πολιτῶν φυγὴ τάλαινα ἦν. 9. τῇ νύμφῃ ἡδεῖα φωνή ἐστι. 10. τὰ τῆς βασιλείας ἱμάτια μέλανά ἐστι.

B.—1. ἡ νῆσος τραχεῖά ἐστι. 2. τὸ χωρίον τραχύ ἐστι. 3. πᾶσα λύπη τάλαινά ἐστι. 4. ἡ θεοσέβειά ἐστιν ἡ ἀρχὴ πασῶν ἀρετῶν. 5. ἡ νύμφη χαρίεσσά ἐστι. 6. ἡ τῆς χαριέσσης θυγατρὸς μήτηρ καλή ἐστι. 7. πᾶσαι αἱ νύμφαι χαρίεσσαί εἰσι. 8. οἱ τοῦ ὄρνιθος ὄνυχες ὀξεῖς εἰσι. 9. τὰ τῆς νύμφης ἱμάτια χαρίεντά ἐστι. 10. αἱ νύκτες τοῦ μὲν χειμῶνος μακραὶ τοῦ δὲ θέρους βραχεῖαι.

EXERCISE XIX.

A.—1. οἱ τοῦ βασιλέως λόγοι εἰσὶν ἀληθεῖς. 2. οἱ πατέρες εὐσεβεῖς ἦσαν. 3. οἱ υἱοὶ ἀσεβεῖς ἦσαν. 4. οἱ μὲν πατέρες εὐσεβεῖς, οἱ δὲ υἱοὶ ἀσεβεῖς ἦσαν. 5. οἱ μὲν σώφρονές εἰσιν ἐλεύθεροι, οἱ δὲ ἀκρατεῖς ἀνελεύθεροι. 6. τῷ νέῳ ἀσφαλὴς καταφυγὴ ἡ σιωπή. 7. χρύσεοι στέφανοι τοῖς εὐδαίμοσι κόσμος εἰσί. 8. ὁ βασιλεὺς τῷ δυστυχεῖ παιδὶ εὔνους ἐστί. 9. οἱ τῶν σωφρόνων πατέρων υἱοὶ εὐδαίμονές εἰσι. 10. οἱ τῆς ἀσθενοῦς μητρὸς παῖδες δυστυχεῖς εἰσι.

B.—1. ὁ μεγαλήγορός ἐστιν ἄφρων. 2. οἱ ἀκρατεῖς εἰσιν ἄφρονες. 3. Ζεύς ἐστιν ὁ κολαστὴς τῶν ἀσεβῶν. 4. οἱ θεοί εἰσι τῶν μεγαληγόρων κολασταί. 5. ἄρσενες παῖδές εἰσι κόσμος τοῦ οἴκου. 6. οἱ ἄρσενες παῖδές εἰσιν εὐγενεῖς. 7. οἱ τοῦ ῥήτορος λόγοι εὐχάριτες ἦσαν. 8. τὸ τῆς βασιλείας δῶρον ἄχαρι ἦν. 9. τὸ τόξευμα τοῦ νεανίου δίπηχυ ἦν. 10. οἱ θεοὶ τοῖς εὐσεβέσιν ἵλεῴ εἰσι.

EXERCISE XX.

1. οἱ φιλόσοφοι πένητες ἦσαν. 2. οἱ ὄρνιθες ἅρπαγές εἰσι. 3. οἱ φθόγγοι τῶν ἀνθρώπων ἄγνωτές εἰσι. 4. ὁ θάνατος ἅπασι κοινός ἐστιν, ἀγνῶσί τε καὶ εὐγενέσι. **5.** οἱ θεοὶ ἵλεῴ εἰσιν τοῖς τε εὐσεβέσι καὶ τοῖς πένησι.

EXERCISE XXI.

A.—1. ἡ τῆς γυναικὸς θυγάτηρ καλή ἐστι. **2.** αἱ τῶν γυναικῶν θυγατέρες καλαί εἰσι. 3. Ἡρακλῆς Διὸς υἱὸς ἦν. 4. ἀγαθὸς ἀνὴρ εἴδωλον θεοῦ ἐστι. 5. οἱ πολῖται σώφρονα ἄνδρα θαυμάζουσι. 6. Ἀφροδίτη καὶ Ἄρης Ἁρμονίαν θαυμάζουσι τὴν γυναῖκα Κάδμου. 7. Ἄρης ἵλεως ταῖς Ἀμάζοσι γυναιξίν ἐστι. 8. ἡ σιωπή ἐστι κόσμος ταῖς σώφροσι γυναιξί. 9. ἡ ἀνδρεία ἐστὶν κόσμος παντὶ ἀνδρί. 10. οἱ θεοὶ Ἕρμην θαυμάζουσι, τὸν Μαΐας καὶ Διὸς υἱόν.

B.—1. οἱ κύνες τοῦ ἀνδρὸς καλοί εἰσιν. 2. οἱ πολῖται τοὺς τοῦ ἡγεμόνος κύνας θαυμάζουσι. 3. Ἀφροδίτη τοῖς κυσὶν οὐ φιλία ἐστί. 4. οἱ σοφισταὶ τοῖς μάρτυσι οὐ φίλιοί εἰσιν. 5. ἡ γυνὴ τὰς κλεῖδας (κλεῖς) τῆς κίστης ἔχει. 6. αἱ τῆς κίστης κλεῖς χρύσεαί εἰσι. 7. αἱ γρᾶες ὀλίγας τρίχας ἔχουσιν. 8. ἡ ἀρετή ἐστι κόσμος ταῖς τοῦ γέροντος θριξίν. 9. αἱ τῶν Ἑλλήνων νῆες μέλαιναί εἰσι. 10. Κάστωρ καὶ Πολυδεύκης τὰς τῶν Ἑλλήνων ναῦς θαυμάζουσι.

EXERCISE XXII.

1. βασιλεῦσι μέγαλαι πρόσοδοί εἰσιν. 2. ἐν τῇ χώρᾳ μεγάλη σίτου ἀφθονία ἐστί. 3. αἱ χῶραι μέγαλαί εἰσιν. 4. Κροίσῳ ἦν πολὺς πλοῦτος. 5. ἐν τῇ Λυδίᾳ μεγάλη συκῶν ἀφθονία ἐστί. 6. οἱ ποταμοὶ πλήρεις εἰσὶν ἰχθύων μεγάλων καὶ πραέων. 7. ἐν τοῖς ποταμοῖς ἰχθυες μέγαλοι καὶ πρᾶοί εἰσιν. 8. τὰ ἔθη τῆς γυναικὸς πραέα ἐστί. 9. ἡ χώρα ἐστὶ πλήρης θηρῶν πολλῶν καὶ μεγάλων. 10. οἱ παῖδες τοὺς πραεῖς (πράους) πατέρας καὶ τὰς πραείας μητέρας θαυμάζουσι.

Exercise XXIII.

A.—1. ὁ θεός ἐστι σοφώτερος τῶν ἀνθρώπων. 2. ἡ σοφία ἡ κτῆσις τιμιωτάτη (τὸ κτῆμα τιμιώτατόν) ἐστίν. 3. ἡ θεοσέβεια πλούτου κτῆμα τιμιώτερόν ἐστιν. 4. τὸ γῆρας χαλεπώτατόν ἐστιν. 5. ἡ μεσότης ἀσφαλεστάτη ἐστίν. 6. αἱ γυναῖκες χαριέσταταί εἰσιν. 7. αἱ θυγατέρες χαριέστεραι τῶν μητέρων εἰσίν. 8. οἱ υἱοὶ πλουσιώτεροι τῶν πατέρων εἰσίν. 9. οἱ πατέρες ἀσθενέστεροι τῶν υἱῶν εἰσιν. 10. οἱ (or αἱ) ὄρνιθες μελάντατοί (or μελάνταταί) εἰσιν.

B.—1. ἡ τῶν Ἀθηναίων δίαιτα οὐκ ἦν ἁπλουστάτη. 2. τὰ παλαίτατα ἔθνη ἐστιν σοφώτατα. 3. γρᾶες λαλίσταταί εἰσιν. 4. ὁ κόραξ κλεπτίστατός ἐστιν. 5. οἱ γεραίτατοι σοφώτατοί εἰσιν. 6. οἱ Λακεδαιμόνιοι ἰσχυρότατοι ἦσαν. 7. οἱ εὐσεβεῖς μακαριώτεροι τῶν ἀσεβῶν εἰσιν. 8. ἐν ταῖς ἀτυχίαις αἱ γυναῖκες σωφρονέστεραι τῶν ἀνδρῶν εἰσιν. 9. οἱ παῖδες ἰσχυρότεροι τῶν γερόντων εἰσιν. 10. ὁ φιλόσοφος ἦν ἐγκρατέστερος καὶ σωφρονέστερος τοῦ νεανίου.

Exercise XXIV.

1. οὐδὲν ἥδιον τοῦ βαθυτάτου ὕπνου ἐστίν. 2. οἱ ἵπποι τάχιστοί εἰσιν. 3. οἱ φιλόσοφοι ἔχθιστοι τοῖς σοφισταῖς εἰσιν. 4. οὐδὲν ἥδιον τῆς σοφίας ἐστίν. 5. οὐδὲν ἔχθιον τῆς κακῆς βουλῆς ἐστιν.

Exercise XXV.

1. οὐδὲν κάκιον πλεονεξίας ἐστί. 2. οὐδὲν μεῖζον ἀγαθὸν τοῖς ἀνθρώποις τῆς φιλίας ἐστι. 3. ἡ θυγάτηρ καλλίων τῆς μητρός ἐστιν. 4. τῷ ἐλευθέρῳ (ἀνθρώπῳ) οὐδὲν ἄλγιον τῆς δουλείας ἐστίν. 5. ἡ νῆσος ἐλαχίστη ἐστίν. 6. πλεῖστοι ἄνθρωποι εὖνοι τοῖς πένησίν εἰσιν. 7. ἡ ἀναρχία ἐστὶ κακὸν μέγιστον. 8. οἱ ἄριστοι ὀλίγοι εἰσίν. 9. οὐδὲν ἀμεῖνον τοῖς ἀνθρώποις τῆς φιλίας ἐστί. 10. ἡ θεοσέβεια κτῆσις ἀμείνων πλούτου ἐστίν.

Exercise XXVI

1. οἱ ἀγαθοὶ μακαριώτεροι τῶν κακῶν εἰσιν. 2. πάντων κτημάτων κράτιστον ἡ θεοσέβεια ἐστι. 3. οὐδὲν κρεῖσσον ἀνθρώπῳ ἐγκρατείας ἐστί. 4. οὐδὲν μεῖζον ἀγαθὸν πολίταις ὁμονοίας ἐστί. 5. Κριτίας κλεπτίστερός τε καὶ βιαιότερος καὶ φονικώτερος τῶν ἄλλων πολιτῶν ἦν. 6. Ἀλκιβιάδης ἀκρατέστερός τε καὶ ὑβριστότερος καὶ βιαιότερος τῶν ἄλλων πολιτῶν ἦν. 7. ἡ νῆσος (ἀμείνονας) ἀμείνους πολίτας ἔχει. 8. ἡ ἐγκράτεια κάλλιστον δῶρον τῶν θεῶν ἐστί. 9. ἐν τῇ νήσῳ αἱ γυναῖκες κρείττονες (κρείττους) τῶν ἀνδρῶν εἰσιν. 10. ἐν τῇ χώρᾳ οἱ ἄνδρες κακίονες (κακίους) τῶν γυναικῶν εἰσιν.

Exercise XXVII.

A.—1. Εὐριπίδης εἷς τῶν Σωκράτους φίλων ἦν. 2. ἡ νύμφη ἐστὶ μία τῶν τοῦ φιλοσόφου θυγατέρων. 3. ὁ πολίτης ἦν πατὴρ τριῶν θυγατέρων. 4. αἱ τέσσαρες θυγατέρες κάλλισται ἦσαν. 5. ὁ ποταμός ἐστι τὸ εὖρος

τριακοσίων ποδῶν. 6. τὸ μέτρον ἔχει διακόσια στάδια. 7. τὸ μέτρον ἔχει τρεῖς καὶ τριάκοντα καὶ πεντακοσίους πόδας. 8. πεντακισχίλιοι ἄνθρωποι ἦσαν. 9. πέντε καὶ εἴκοσι καὶ τετρακόσιοι καὶ τετρακισχίλιοι ἄνθρωποι ἦσαν. 10. τὸ μέτρον ἔχει μυρίους πόδας.

B.—1. ἦσαν ἑπτακισχίλιοι ἱππεῖς καὶ τριακόσια ἅρματα. 2. ἦσαν μύριοι ἱππεῖς καὶ πεντακόσια ἅρματα. 3. ὁ ἀριθμὸς τῆς ὁδοῦ ἦν πεντεκαίδεκα καὶ ἑκατὸν σταθμοί, τρεῖς καὶ εἴκοσι καὶ ἑξακόσιοι παράσαγγαι, μύρια καὶ ὀκτακισχίλια καὶ ἑξακόσια στάδια. 4. τοῦ στρατεύματος ἦν ὁ ἀριθμὸς ὁπλῖται ἐννακισχίλιοι καὶ ἐννακόσιοι καὶ τριάκοντα καὶ ἐννέα. 5. τῶν ἕπτα νήσων Σαρδὼ ἔχει τὴν δευτέραν τάξιν.

Exercise XXVIII.

1. ἡ θυγάτηρ ἡμῖν φιλτάτη ἐστίν. 2. ὁ παῖς ὑμῖν φίλτατός ἐστιν. 3. ὁ γίγας ἰσχυρότερός ἐστι νῷν. 4. οὔτ' ἐμοὶ οὔτε σοὶ πατρίς ἐστιν. 5. ἡμῖν οἶκος οὔκ ἐστιν. 6. οἱ ἀκρατεῖς ἀλλήλοις πολέμιοί εἰσιν. 7. σφῷν ἦν κάκιστον κακόν (κακίστη νόσος). 8. νῷν ἦν πιστότατος φίλος. 9. ὁ δοῦλος ὠφέλιμός ἐστιν ἐμοί τε καὶ σοί. 10. οἱ δοῦλοι ὠφέλιμοί εἰσιν ἡμῖν τε καὶ ὑμῖν.

Exercise XXIX.

1. ὁ ἐμὸς παῖς καλός ἐστιν. 2. ἡ ἐμὴ θυγάτηρ καλή ἐστιν. 3. οἱ ἡμέτεροι παῖδες καλοί εἰσιν. 4. αἱ ἡμέτεραι θυγατέρες καλαί εἰσιν. 5. ὁ σὸς πατὴρ ἀγαθός ἐστιν. 6. οἱ ὑμέτεροι πατέρες ἀγαθοί εἰσιν. 7. οἱ μὲν ἡμέτεροι παῖδες σπουδαῖοί εἰσιν, οἱ δὲ ὑμέτεροι μεθήμονές εἰσιν. 8. οἱ πατέρες θαυμάζουσι τοὺς σπουδαίους παῖδας. 9. αἱ μητέρες θαυμάζουσι τὰς καλὰς θυγατέρας. 10. αἱ μητέρες θαυμάζουσι τὰς ἑαυτῶν θυγατέρας.

Exercise XXX.

1. οἱ ἄνδρες οὗτοι ἀγαθοί εἰσιν. 2. αἱ γνῶμαι αὗται δίκαιαί εἰσιν. 3. αἱ γυναῖκες αὗται καλαί εἰσιν. 4. οἱ ἄνδρες ἐκεῖνοι βασιλεῖς εἰσιν. 5. τὸ ῥόδον τοῦτο καλόν ἐστι.

Exercise XXXI.

1. οἱ βασιλεῖς αὐτοὶ στρατηγοί εἰσιν. 2. οἱ αὐτοὶ βασιλεῖς στρατηγοί εἰσιν. 3. οἱ ἄνδρες αὐτοὶ βασιλεῖς εἰσιν. 4. οἱ αὐτοὶ ἄνδρες βασιλεῖς εἰσιν. 5. ταὐτὸ ῥόδον καλόν ἐστιν. 6. ὁ ἀνὴρ αὐτὸς οὐ ταὐτὰ θαυμάζει. 7. ὁ αὐτὸς ἀνὴρ τῶν αὐτῶν ἡμερῶν οὐ ταὐτὰ θαυμάζει. 8. αἱ ἡμέραι τοῦ αὐτοῦ μηνὸς οὐχ αἱ αὐταί εἰσιν. 9. ἡ θυγάτηρ αὐτῆς καλλίστη ἐστίν. 10. αἱ θυγατέρες τῆς αὐτῆς μητρὸς λάλαι εἰσίν.

Exercise XXXII.

1. ὄλβιοι οἷς παῖδες φίλοι εἰσίν. 2. τίνα ἡ μήτηρ θαυμάζει; θαυμάζει τὴν καλλίστην θυγατέρα. 3. πατρὸς τινος ἐστὶ καὶ μητρὸς ἡ νύμφη;

1. τίνες εἰσὶν οἱ υἱοὶ τοῦ Περικλέους; 5. τί ἐστι πολεμιώτερον ἀνθρώποις τῆς κακίας; 6. ἐν τῇ πόλει νεῴ εἰσιν, ἐν οἷς πλῆθος στεφάνων ἐστίν. 7. οἱ ἄνδρες Ἀργεῖοι μὲν ἦσαν, ἀδόξων δέ τινων υἱοί. 8. ὄλβιοι οἵτινες οὐσίαν καὶ νοῦν ἔχουσι. 9. τί ἦν τοῦτο τὸ αἴνιγμα; τὸ αὐτό ἐστι τετράπουν καὶ δίπουν καὶ τρίπουν. 10. τίνες εἰσὶν οἱ πατέρες τι[illegible]ων τῶν ἀγαθῶν παίδων;

Exercise XXXIII.

1. βασιλεῖς, ἄνθρωποι ἐστέ. 2. θεοῖς ὅμοιοι ἐστὲ εὐεργεσίᾳ. 3. παιδία ἐσμὲν καὶ ἔτι ἄφρονα. 4. ἀρετῇ ἐστὲ ἀγαθοί. 5. ἐμοὶ φίλοι οὔποτε ἔσονται. 6. ἐγὼ βροτός εἰμι. 7. δύο παῖδε ἤστην τῷ βασιλεῖ. 8. ἐγὼ καὶ ὁ σὸς ἀδελφὸς ἑταίρω τε καὶ φίλω ἦμεν. 9. ἔσονται ἄνδρες ἄξιοι τῆς ἐλευθερίας. 10. τὼ γραφέε σοφὼ ἤστην (*or* ἤτην).

Exercise XXXIV.

1. πολλοὶ ὄντες εὐγενεῖς εἰσιν ἀγαθοί. 2. ἡ γυνὴ οὖσα εὐγενής ἐστι κακή. 3. εὐδαίμονες εἴημεν καὶ θεοῖς φίλοι. 4. εὐδαίμονες εἴητε καὶ θεοῖς φίλοι. 5. ἔργοις φιλόπονοι ἐστὲ, μὴ λόγοις μόνον. 6. δύσμοιροι ἐστὲ μᾶλλον ἢ κακήγοροι. 7. οἱ συγγραφεῖς ἀληθείας φίλοι ἔστων. 8. οἱ συγγραφεῖς ὄντες ἀληθείας φίλοι ἐπαίνου ἄξιοί εἰσιν. 9. δύσμοιρος εἴην μᾶλλον ἢ κακός. 10. δύσμοιροι εἴημεν μᾶλλον ἢ κακοί.

Exercise XXXV.

A.—1. ἐχθαίρεις κακὸν ἄνδρα. 2. ἅπαντες ἐχθαίρετε κακοὺς ἄνδρας. 3. αἱ ὁδοὶ πρὸς τὴν πόλιν ἄγουσι. 4. βόε τὸ ἄροτρον ἡγέτην. 5. ὁ πολίτης τοὺς νόμους φυλαττέτω. 6. ἕταιροι ἑταίρων φροντιζόντων. 7. οἱ πατέρες πρόνοιαν ἐχόντων τῆς τῶν τέκνων παιδείας. 8. οἱ πολῖται τοὺς νόμους ἐφύλαττον. 9. ὅτε οἱ Πέρσαι ἐπλησίαζον, οἱ πολῖται ἀπέφευγον. 10. ἅπαντές ποτε ἐστασιάζομεν.

B.—1. εὖ λέγει, ἵνα τὴν δόξαν τῆς ἀρετῆς λαμβάνῃ. 2. εὖ ἔλεγεν, ἵνα τὴν δόξαν τῆς ἀρετῆς λαμβάνοι. 3. οἱ ποιμένες κύνας τρέφουσιν, ἵνα τοὺς λύκους ἀπὸ τῶν προβάτων ἀπερύκωσιν. 4. οἱ ποιμένες κύνας ἔτρεφον, ἵνα τοὺς λύκους ἀπὸ τῶν προβάτων ἀπερύκοιεν. 5. τὰ τέκνα τοῖς πατράσι ῥόδα φέρει ἵνα χαίρωσι. 6. τὰ τέκνα τοῖς πατράσι ῥόδα ἔφερον ἵνα χαίροιεν. 7. μὴ λαμβάνωμεν τὴν δόξαν τῆς κακίας. 8. Τισσαφέρνης διέβαλλε τὸν Κῦρον πρὸς τὸν βασιλέα ὡς ἐπιβουλεύοι αὐτῷ. 9. ἀποτρέποι θεὸς τὸ δεινὸν ἀφ' ὑμῶν. 10. ἀποτρέποιεν οἱ θεοὶ τὸ δεινὸν ἀφ' ὑμῶν.

C.—1. χαλεπώτατόν ἐστιν ἵππους τρέφειν. 2. χαλεπόν ἐστι τοῦτον τὸν ἄνδρα θαυμάζειν. 3. χαλεπόν ἐστι πάντα ταῦτα φέρειν. 4. οἱ παλαιοὶ τὸν ἥλιον ἐνόμιζον θεὸν εἶναι. 5. ὁ πατὴρ τὸν παῖδα ἐκέλευε τοὺς νόμους μανθάνειν. 6. τοῖς καλῶς πράσσουσι πᾶσα γῆ πατρίς ἐστιν. 7. ἥδιστος θάνατός ἐστι ξυνθνήσκειν θνήσκοντι φίλῳ. 8. οἱ παῖδες ἱππεύειν μανθάνοντες ἔχαιρον. 9. ἔστιν ἡ προμηθία καὶ τοῖς λέγουσι καὶ τοῖς κλύουσι σύμμαχος. 10. οἱ Αἰγύπτιοι θάπτουσι τοὺς νέκρους ταριχεύοντες, καὶ οἱ Ῥωμαῖοι καίοντες.

Exercise XXXVI.

A.—1. τὴν πόλιν ἀπὸ τῶν πολεμίων ἀπολύσετε. 2. οἱ χρηστοὶ ἄνθρωποι καὶ τοῖς ἐκγόνοις φυτεύσουσι. 3. Ἀχιλλεὺς καὶ Ἀγαμέμνων ἀλλήλοιν ἐμηνισάτην. 4. πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσητε, μὴ δικάζετε. 5. οὐκ ἂν πιστεύσαις ψεύστῃ. 6. ἀκούσατέ μου, ὦ φίλοι. 7. ἕταιροι ἑταίροις πιστευσάντων. 8. οἱ πολέμιοι τῷ στρατεύματι ἐπιβουλεύσουσι. 9. οἱ πολέμιοι τοῖς στρατεύμασι ἐπεβούλευσαν. 10. οἱ Λακεδαιμόνιοι τὴν πόλιν κατέλυσαν.

B.—1. τὴν πόλιν φυλάξει. 2. πᾶν σοι φράσομεν. 3. οἱ σοφισταί σε βλάψουσιν. 4. ὁ θάνατος τοὺς ἄνδρας τῶν κακῶν ἀπήλλαξε. 5. ὡς ἀληθῆ ὄντα λέξομέν σοι, ἃ μέλλομεν λέγειν. 6. ὁ στρατηγός τινά σοι ἄγγελον ἔπεμψε. 7. ὁ ποιητὴς γράψει ἑπτὰ δράματα. 8. οἱ υἱοὶ ἑκόντες οὐκ ἂν ἑαυτοὺς βλάψειαν. 9. ὁ βασιλεὺς τὰ τοῦ ποιητοῦ ὀστᾶ ἐν τῇ πόλει θάψει. 10. οἱ νεανίαι τοὺς στεφάνους κλέψαντες ἐκόμισαν εἰς τὸν νεών.

C.—1. ὁ υἱὸς τὸν πατρῷον οἶκον ἐπαρεῖ. 2. σπεροῦμεν γύας, οἱ δὲ θεοὶ αὔξησιν παρέξουσι. 3. ἡμεῖς οὔθ' ἡμᾶς αὐτοὺς οὔτε σ' ἀλγυνοῦμεν. 4. οὐχ ἡμεῖς σ' ἀποκτενοῦμεν, ἀλλ' οἱ τῆς πόλεως νόμοι. 5. οἱ στρατιῶται συλλαμβάνουσι τὸν στρατηγὸν ὡς ἀποκτενοῦντες. 6. Σωκράτην τὸν σοφὸν ἀποκτενοῦσιν οἱ Ἀθηναῖοι. 7. οἱ πολῖται οὐ διέκριναν τοὺς κόλακας καὶ τοὺς φίλους. 8. χαλεπῶς ἂν ἡμεῖς δουλείαν ὑπομείναιμεν. 9. οἱ τοῦ Ὀδυσσέως ἑταῖροι κτενοῦσι τὰς βοῦς τοῦ Ἀπόλλωνος. 10. τὰς δυστυχίας ἔκρυψεν, ἵνα μὴ τοὺς ἐχθροὺς εὐφράνοι.

Exercise XXXVII.

A.—1. οἱ στρατιῶται τὴν πόλιν ἀπὸ τῶν πολεμίων ἀπελελύκεσαν. 2. οἱ πολέμιοι πεντήκοντα πολίτας ἐπεφονεύκεσαν. 3. ὁ μάντις τὰ μέλλοντα καλῶς ἐπεπροφητεύκει. 4. τὰ τέκνα εὖ πεπαίδευκασι. 5. Μήδεια τὰ τέκνα πεφόνευκε. 6. οἱ Λακεδαιμόνιοι Πλαταιὰς καταλελύκασι. 7. οἱ ἄνδρες στολὴν γυναικείαν ἐνδεδύκασι. 8. ἐθαυμάζομεν τὴν γυναῖκα τὴν ἐνδεδυκυῖαν καλὴν στολήν. 9. ὁ στρατηγὸς πολλῶν χρημάτων κεκυρίευκε. 10. οἱ στρατιῶται τοὺς πολίτας πεφονευκότες ἔχαιρον.

B.—1. οἱ παῖδες τὸν ὄνον τετύφασι. 2. τὼ παῖδε τὸν ὄνον ἐτετυφείτην. 3. τὼ φιλοσόφω καλὸν τοῦ γήρως ἐγκώμιον γεγράφατον. 4. οἱ σοφισταὶ καλὸν τῆς ἀρετῆς ἐγκώμιον γεγράφασι. 5. οἱ θεοὶ τοῖς ἀνθρώποις τὸ μέλλον κεκαλύφασι. 6. οἱ στρατηγοὶ τοὺς στρατιώτας ἐν Θερμοπύλαις ἐτετάχεσαν

7. οἱ Ἀθηναῖοι τὰς τῶν πολεμίων τάξεις ἐτεταράχεσαν. 8. οἱ ἀγαθοὶ πολῖται τὴν ἑαυτῶν γνώμην τῷ τῆς πόλεως νόμῳ ὑπετετάχεσαν.

C.—1. τὸν ἐν Κρήτῃ λαβύρινθον κατεσκεύακε Δαίδαλος. 2. ἐπιμελῶ οἱ θεοὶ πάντα κατεσκευάκεσαν. 3. Ὅμηρον μάλιστα τεθαυμάκασι. 4. ἐπὶ τραγῳδίᾳ Σοφοκλέα μάλιστα οἱ Ἕλληνες ἐτεθαυμάκεσαν. 5. ἀπεστάλκαμέν σοι τόνδε τὸν λόγον δῶρον. 6. ἀπεστάλκειμέν σοι τούσδε τοὺς λόγους δῶρα. 7. τοὺς ἄλλους πολίτας σεσώκαμεν. 8. οἱ μάντεις τοὺς δισχιλίους δαρεικοὺς διεσεσώκεσαν. 9. οἱ κήρυκες τὴν νίκην τοῖς Λακεδαιμονίοις ἠγγέλκεσαν. 10. οἱ πολῖται τὰ τείχη ἐτετειχίκεσαν.

Exercise XXXVIII.

1. οἱ πολέμιοι εἰς τὴν πόλιν ἔφυγον. 2. οἱ ἐν τῇδε τῇ πόλει κατοικοῦντες ἀπέφυγον εἰς τὴν Ἀττικήν. 3. τὼ στρατηγὼ ἀπεβαλέτην τὸν στρατόν. 4. αἰσχρόν ἐστι στρατηγῷ ἀποβαλεῖν τὸ στράτευμα. 5. αἱ μέλιτται τὰ κέντρα ἀποβαλοῦσαι ἀποθνήσκουσι. 6. ὁ στρατηγὸς τὸ στράτευμα ἀποβαλὼν ἐκ μάχης ἔφυγε. 7. ἀποφύγοις τὸν φθόνον. 8. οἱ Ἀθηναῖοι εἰσέβαλον εἰς Πελοπόννησον. 9. οἱ Ἀθηναῖοι εἰς Πελοπόννησον εἰσβαλόντες ἐκ μάχης ἔφυγον. 10. φυλάττομεν τὴν ἀρετήν, ἣν ἡμῖν οἱ πρόγονοι κατέλιπον.

Exercise XXXIX.

1. τὼ πολίτα κακῶς πεπραγάτον. 2. τὼ φιλοσόφω εὖ ἐπεπραγείτην. 3. οἱ εὖ πεπραγότες πολλάκις σὺν ταῖς τύχαις τὸν νοῦν ἀποβάλλουσιν. 4. τὼ παῖδε πεπλήγατον τὸν ἵππον. 5. τὼ παῖδε ἐπεπληγείτην τὸν ἵππον. 6. τὼ στρατιώτα ἐκ τῆς μάχης πεφεύγατον. 7. τὼ στρατηγὼ ἐκ τῆς μάχης ἐπεφευγείτην. 8. οἱ Ἀθηναῖοι τῇ τοῦ Θεμιστοκλέους βουλῇ ἐπεποίθεσαν. 9. οἱ Ἀθηναῖοι τὴν πόλιν καταλελοίπασι καὶ εἰς τὰς ναῦς ἀποπεφεύγασι. 10. οἱ Ἀθηναῖοι τὴν πόλιν καταλελοιπότες εἰς τὰς ναῦς ἀποπεφεύγασι.

Exercise XL.

A.—1. οἱ φιλόσοφοι ἄξιοί εἰσι θαυμάζεσθαι. 2. οἱ Λακεδαιμόνιοι νομίζονται ἀλκιμώτατοι. 3. οἱ Λακεδαιμόνιοι ἐνομίζοντο ἀλκιμώτεροι τῶν Ἀθηναίων. 4. Μιλτιάδης καὶ Θεμιστοκλῆς ὠνομάζοντο σωτῆρες τῆς Ἑλλάδος. 5. οἱ υἱοὶ Ξενόφωντος παρὰ Λακεδαιμονίοις τρέφονται. 6. οἱ σοφισταὶ ὑπὸ πάντων θαυμάζονται. 7. Ἡρακλῆς ἐπ' ἀνδρείᾳ καὶ σώματος ῥώμῃ ἐθαυμάζετο. 8. νὼ ἐπ' ἀνδρείᾳ καὶ σώματος ῥώμῃ ἐθαυμαζόμεθον. 9. οἱ νεανίαι τοῦ στρατηγοῦ υἱοί εἶναι ἐλέγοντο. 10. οἱ σοφισταὶ ὑπὸ πάντων τῶν πολιτῶν ἐγιγνώσκοντο. 11. οἱ νεανίαι διὰ τὸν φόνον τῶν μητέρων ἐδιώκοντο ὑπὸ τῶν Ἐρινύων.

B.—1. οἱ πολῖται μετ' ὀργῆς οὐκ ἀσφαλῶς ἐβουλεύοντο. 2. οἱ πολῖται ἐβούλοντο εὖ πράττειν. 3. ἡγεμόνι τῷ ἀνδρείῳ ἐφείποντο οἱ στρατιῶται.

4. πενίαν ἄλυπον μᾶλλον ἐβουλόμεθα ἢ πλοῦτον πικρόν. 5. ἐκ πτωχοῦ ταχὺ πλούσιος γίγνεται. 6. ἐκ πτωχῶν ταχὺ πλούσιοι ἐγιγνόμεθα. 7. οἱ Ἕλληνες ἐπὶ τὸν ἀδελφὸν Κύρου Ἀρταξέρξην ἐστρατεύοντο. 8. οἱ φιλόσοφοι πολλάκις διελέγοντο τοῖς τεχνίταις. 9. μὴ γίγνου τῷ κακῷ (or τοῖς κακοῖς) φίλος. 10. τοῖς ποιμέσιν ἐφείποντο αἱ (*more freq.* οἱ) κύνες.

Exercise XLI.

A.—1. ὁ λῃστὴς πεφόνευται. 2. οἱ παῖδες τοῦ φίλου εὖ πεπαίδευνται. 3. αἱ θυραὶ κεκλεῖσθαι λέγονται. 4. πρὸ τοῦ ἔργου εὖ βεβούλευσαι. 5. αἱ συνθῆκαι ὑπὸ τῶν βαρβάρων λελύσθαι λέγονται. 6. τὼ (δύο) παῖδε ὑπὸ τοῦ αὐτοῦ διδασκάλου πεπαίδευσθον. 7. ἡ βασιλεία ὑπὸ τοῦ δήμου ἐλέλυτο. 8. οἱ Ἕλληνες εἰς τὴν ἄκραν κατακέκλεινται. 9. πρὸ τοῦ ἔργου οἱ πολῖται εὖ ἐβεβούλευντο. 10. οἱ Ἕλληνες εὖ βεβουλεῦσθαι λέγονται.

B.—1. ἡ πόλις κατέσκαπται ὑπ' Ἀλεξάνδρου. 2. ὁ βασιλεὺς κατῴκισε τὰς πόλεις κατεσκαμμένας ὑπ' Ἀλεξάνδρου. 3. οἱ ἄνδρες ἐν τῇ πόλει τεθαμμένοι εἰσίν. 4. ἡ νῆσος κέκρυπται ὑπὸ τῆς θαλάσσης. 5. ἡ πόλις ὑπ' Ἀθηναίων ἔκτισται. 6. τὸ ἔργον κακῶς εἴργασται. 7. οἱ στέφανοι ἦσαν ἐκ πίτυος πεπλεγμένοι. 8. ἡ νῆσος ὑπὸ Ῥωμαίων βασιλεῖ ἐπιτέτραπται. 9. τὸ στράτευμα ἦν εὖ τεταγμένον. 10. ἔργον τι ἑκάστῳ τῶν πολιτῶν ἐν τῇ πόλει προσετέτακτο.

C.—1. ὁ ἀνθρώπινος βίος εἰς ἑβδομήκοντα ἔτη περιεγέγραπτο. 2. οἱ νόμοι γεγραμμένοι εἰσί. 3. τῶν ἀνθρώπων οἱ μὲν ἐν ἔθεσι κρείττοσιν, οἱ δ' ἐν χείροσι τεθραμμένοι ἦσαν. 4. αἱ κνημῖδες ἐκκεκαθαρμέναι εἰσί. 5. αἱ ἀσπίδες ἐκκεκαλυμμέναι ἦσαν. 6. πρῶτος τῶν στρατηγῶν κεκρίθαι λέγεται Ἀλέξανδρος. 7. πεφυλάγμεθον ἀνθρώπους, οἳ διχόμυθον ἔχουσι γλῶσσαν. 8. εἰς τὴν πόλιν διέσπαρται ὁ λόγος. 9. ἀπήλλακται λύπης. 10. οἱ Ἀθηναῖοι ἔκτισαν πόλεις μεγάλας καὶ εὖ τετειχισμένας.

Exercise XLII.

A.—1. ὁ Ἕκτωρ ὑπὸ τοῦ Ἀχιλλέως φονευθήσεται. 2. ὑπὸ τοῦ αὐτοῦ διδασκάλου ἐπαιδεύθησαν. 3. ὑπὸ τοῦ αὐτοῦ διδασκάλου παιδευθήσονται. 4. ἡ δημοκρατία ὑπὸ τοῦ τυράννου καταλυθήσεται. 5. μέγας φόβος με ἔχει, μὴ ἡ δημοκρατία ὑπὸ τοῦ τυράννου καταλυθῇ. 6. μέγας φόβος με εἶχε, μὴ ἡ δημοκρατία ὑπὸ τοῦ τυράννου καταλυθείη. 7. αἱ συνθῆκαι ὑπὸ τῶν πολεμίων λυθῆναι λέγονται. 8. ὁ νεανίας ὑπὸ τούτου τοῦ διδασκάλου εὖ παιδευθῆναι λέγεται. 9. τὼ λῃστὰ φονευθῆναι λέγεσθον. 10. τούτων τῶν ἀνδρῶν θελόντων οἱ παῖδες σωθήσονται.

B.—1. τειχισθήσεται τὸ ἄστυ τῶν Ἀθηναίων. 2. ὁ Δίων ὑπὲρ τοῦ υἱοῦ θανάτου οὐ ταραχθήσεται. 3. ἡ πόλις ὑπὸ τῶν Ῥωμαίων καταφλεχθῆναι λέγεται. 4. Χαλκὶς καὶ Ἐρέτρια ὑπὸ Ἀθηναίων κτισθῆναι λέγονται. 5. τὰ τοῦ ἥρωος ὀστᾶ τάφῳ ἐκρύφθη. 6. Κῦρος ὑπὸ τοῦ πατρὸς καταπεμφθήσεται

σατράπης Λυδίας. 7. Κῦρος ὑπὸ τοῦ πατρὸς καταπεμφθῆναι λέγεται σατράπης Λυδίας. 8. ἀγαθοῖς ἀνθρώποις ὁμιλοῦντες μάλιστ' ἂν εὐφρανθεῖεν. 9. οἱ ἄγγελοι ὑπὸ τοῦ κήρυκος ἀγγελθήσονται. 10. οἱ πολῖται ἐπήρθησαν τῇ εὐτυχίᾳ.

Exercise XLIII.

1. οἱ νόμοι ὑπὸ τῶν κακῶν πολιτῶν ἐφθάρησαν. 2. οἱ βάρβαροι τραπήσονται ὑπὸ τῶν Ἑλλήνων. 3. Ἀχιλλεὺς μυελῷ λεόντων τραφῆναι λέγεται. 4. Ὕλας διὰ κάλλος ὑπὸ Νυμφῶν ἁρπαγῆναι λέγεται. 5. Ἄδωνις ὑπὸ συὸς πληγήσεται. 6. πῦρ ἐκλάπη ὑπὸ Προμηθέως. 7. ὁ στρατηγὸς ἐν τῇ πόλει ταφήσεται. 8. πᾶσα ἡ Μακεδονικὴ δύναμις ὑπὸ τῶν Γαλατῶν κατακοπῆναι λέγεται. 9. αἱ γυναῖκες μανεῖσαι ἑαυτὰς ἐφόνευσαν. 10. ἡ Νῖνος κατασκαπήσεται ὑπὸ τῶν Μήδων.

Exercise XLIV.

1. μάτην ἡμῖν κεκλαύσεται. 2. φράσον ὅ, τι ἡμᾶς δεῖ πράττειν, καὶ πεπράξεται. 3. εὖ με ἐποίησαν· εὐεργέται εἰς ἀεὶ ἀναγεγράψονται. 4. αἱ πύλαι τῆς πόλεως τῆς νυκτὸς κεκλείσονται. 5. αἱ ἐπιστολαὶ γεγράψονται. 6. οἱ μέγιστοι εὐεργέται ἀναγεγράψεσθε.

Exercise XLV.

1. ὁ ἄγγελος ἤγγελλεν ὅτι οἱ πολέμιοι ἐπὶ τὴν πόλιν στρατεύσοιντο. 2. περὶ τῆς τῶν πολιτῶν σωτηρίας βουλεύσει. 3. οἱ νεανίαι μοι ἔλεγον ὅτι πορεύσοιντο. 4. τίνες ἡμᾶς δέξονται πόλεις; 5. οὐ τἀληθῆ ἀποκρύψομαι. 6. πεισόμεθα θεῷ μᾶλλον ἢ τοῖς ἀνθρώποις. 7. ἡμεῖς σοῦ φεισόμεθα. 8. ἡμεῖς γε σπευσόμεθα ἐπ' Ἀχιλλῆα, ἵν' ὀτρύνωμεν πολεμίζειν. 9. οἱ στρατιῶται τοὺς πολεμίους ἀνδρείως ἀμυνοῦνται. 10. ὑπὸ πολλοῦ οἴνου σφαλοῦνται.

Exercise XLVI.

1. οἱ Πέρσαι ἐπὶ Ἀθήνας ἐστρατεύσαντο. 2. πρὸ τοῦ ἔργου εὖ βουλεύσασθε. 3. οἱ πολῖται εὖ ἐβουλεύσαντο. 4. ὁ στρατηγὸς μεγάλης τιμῆς ἐγεύσατο. 5. οἱ ἀδελφοὶ ἀνεπαύσαντο. 6. ὀργὴν ἐμεμψάμεθα τὴν σήν. 7. οἱ στρατηγοὶ τὴν νῆσον κατεστρέψαντο. 8. ὁ στρατηγὸς τὴν χώραν καταστρεψάμενος ἐπὶ τὴν πόλιν στρατεύσεται. 9. ἀπεκρίνω μοι. 10. καλῶς ἠμύνασθε τοὺς πολεμίους.

Exercise XLVII.

1. πρὸς λῃστείαν ἐτράπετο. 2. ποῖ τραπώμεθα; 3. Σαράπιδα ἐξ Αἰγύπτου θεὸν εἰσηγάγου. 4. τὴν Κυρηναϊκὴν φιλοσοφίαν ἐκτίσας. 5. ἐξετράποντο τῆς ὁδοῦ. 6. κατελίπου υἱὸν ὅμοιον σαυτῷ. 7. ἐπίθοντό σοι. 8. οἱ Ἀθηναῖοι τείχει περιεβάλοντο τὴν πόλιν.

Exercise XLVIII.

1. κέρδος σε νικᾷ. 2. ἐρῶμεν τῆς ἀρετῆς. 3. πολλάκις νικῶσι καὶ κακοὶ ἄνδρας ἀγαθούς. 4. ὁ ἀνὴρ ἐν τῇ τῆς ἡλικίας ἀκμῇ ἐτελεύτα. 5. ἢ σιωπᾶτε ἢ λέγετε ἀμείνονα. 6. οἱ παῖδες τοὺς γονέας ἀγαπῶσι. 7. εἴθε ὁ παῖς τοὺς γονέας ἀγαπῴ. 8. Περικλῆς ἀστράπτει, βροντᾷ, συγκυκᾷ τὴν Ἑλλάδα. 9. πῶς ἂν τολμῷμεν τοὺς φίλους βλάπτειν; 10. ὀλοφυρόμεθα τοὺς ἐν τῇ τῆς ἡλικίας ἀκμῇ τελευτῶντας.

Exercise XLIX.

1. εὖνοι λόγοι λύπην ἰῶνται. 2. τιμώμενος ὁ ἀνὴρ ἥδεται. 3. ὁ ἀνὴρ πολλὰ μηχανᾶται. 4. οἱ ἀγαθοὶ ὑπὸ πάντων τιμῶνται. 5. οἱ ποιηταὶ ὑπὸ τῶν Ἀθηναίων ἠγαπῶντο καὶ ἐτιμῶντο. 6. εἴθε οἱ ποιηταὶ ὑπὸ τῶν Ἀθηναίων ἀγαπῷντο καὶ ἐτιμῷντο. 7. οἱ ἡμεροδρόμοι χρῶνται ὑποδήμασιν ἐν ταῖς ὁδοῖς. 8. παῖδες ὑπὸ τῶν γονέων ἀγαπῶνται. 9. ὑπὸ τῶν φίλων ἐθέλομεν ἀγαπᾶσθαι καὶ ὑπὸ τῶν πολεμίων τιμᾶσθαι.

Exercise L.

1. ἄνδρες πονηροὶ δυστυχοῦσι κἂν εὐτυχῶσι. 2. βίος κράτιστος, ἂν θυμοῦ κρατῆτε. 3. οἱ μάλιστα εὐτυχοῦντες μὴ μέγα φρονούντων. 4. τοῖς πονοῦσιν οἱ θεοὶ συλλαμβάνουσιν. 5. δικαιοσύνην ἀσκοῦσι καὶ ἔργῳ καὶ λόγῳ. 6. τοῖς ἀσκοῦσι τὴν δικαιοσύνην καὶ ἔργῳ καὶ λόγῳ οἱ θεοὶ συλλαμβάνουσιν. 7. οἱ Ἕλληνες τοῦ σώματος οὐκ ἀμελοῦσι. 8. οἱ Ἕλληνες τοὺς ἀμελοῦντας τοῦ σώματος οὐκ ἐπαινοῦσι. 9. εἴθε, ὦ θεοί, τελοίητέ (*or* τελοῖτε) μοι τὴν εὐχήν. 10. εἴθε εὐτυχοίης, ὦ φίλε.

Exercise LI.

1. αἰδεῖσθε θεόν. 2. τοὺς ἀγαθοὺς ἄνδρας ποιεῖσθε ἑταίρους. 3. φιλῶν φιλεῖται, μισῶν μισεῖται. 4. ἀπιστεῖται ὁ λάλος, κἂν ἀληθεύῃ. 5. ὁ τῶν Περσῶν βασιλεὺς ὑπὸ τῶν Ἑλλήνων ἐμισεῖτο καὶ κατεφρονεῖτο. 6. οἱ μηδὲν ἀδικοῦντες οὐδενὸς δέονται νόμου. 7. αἱ πόλεις δέκα ἔτη ὑπὸ τῶν Ἑλλήνων ἐπολιορκοῦντο. 8. οἱ πολῖται φοβοῦνται, μὴ ἡ πόλις πολιορκῆται. 9. οἱ πολῖται ἐφοβοῦντο, μὴ αἱ πόλεις πολιορκοῖντο. 10. μὴ φοβεῖσθε θάνατον, ἀπόλυσιν κακῶν.

Exercise LII.

1. οἱ θεοὶ τοὺς μὲν ὑψηλοὺς ταπεινοῦσι, τοὺς δὲ ταπεινοὺς ὑψοῦσι. 2. μὴ ὕβρις τὴν φρένα ἀμαυροῖ. 3. οἱ παῖδες τοὺς ἐσθλοὺς καὶ σώφρονας ἄνδρας ζηλοῦσι. 4. τοὺς κακῶς πράττοντας ὀρθοῖ τύχη. 5. τὴν ἀρετὴν καὶ τὴν σοφίαν ἐζήλουν. 6. τοὺς νεανίας τοὺς τὴν σοφίαν ζηλοῦντας φιλοῦμεν. 7. οἱ πολέμιοι τὸ στράτευμα ἡμῶν δολοῦσι. 8. χρυσὸς δουλοῖ θνητῶν φρένας. 9. μὴ οἱ πολέμιοι τὸ στράτευμα ἡμῶν δολοῖεν. 10. οἱ πολέμιοι πλησιάζουσι, ἵνα τοὺς αἰχμαλώτους ἐλευθερῶσι.

Exercise LIII.

1. δουλοῦσθε τῇ σαρκὶ καὶ τοῖς πάθεσιν. 2. οἱ σοφισταὶ τῇ σοφίᾳ γαυροῦνται. 3 οἱ ὑπερήφανοι ταπεινοῦνται. 4. οἱ ὑπερήφανοι ἐταπεινοῦντο. 5. μὴ γαυροῦ τῇ σοφίᾳ. 6. οἱ κακοὶ τοῖς ἀγαθοῖς ἐναντιοῦνται. 7. ὁ ἐναντιούμενος ἄξιός ἐστι ζημιοῦσθαι. 8. οἱ βάρβαροι ὑπὸ τῶν πολιτῶν δολοῦνται. 9. οἱ βάρβαροι ὑπὸ τῶν πολιτῶν δολοῖντο. 10. ὑπὸ τῶν Ἀθηναίων ἀδίκως ζημιοῦται.

Exercise LIV.

1. ὁ στρατιώτης γενναίως μαχόμενος ἐτελεύτησε. 2. ὁ φιλόσοφος νικήσει. 3. εὐτύχησεν εἰς τέκνα. 4. οἱ νεανίαι ἠκολούθησαν τῇ σοφίᾳ. 5. οἱ ἀγαθοὶ πατρίδα ἐκόσμησαν. 6. οἱ ἄνδρειοι στρατιῶται μεγάλων τιμῶν ἠξιώθησαν. 7. οἱ στρατιῶται τοὺς πολεμίους νενικήκασι. 8. οὐδεὶς ἔπαινον ἡδοναῖς κτήσεται. 9. οἱ πολέμιοι ἐνικήθησαν. 10. ὁ βασιλεὺς οὐ μόνον τοὺς ἀδικοῦντας ἐζημίωσεν ἀλλὰ καὶ ὠφέλησε τοὺς δικαίους.

Exercise LV.

A.—1. ἀφίστησι τοὺς νέους τῆς ἐπὶ τὴν ἀρετὴν ὁδοῦ. 2. πολλοὺς συμμάχους ἀπέστησεν ἀπὸ τῶν Ἀθηναίων. 3. πολλοὶ σύμμαχοι ἀπὸ τῶν Ἀθηναίων ἀπέστησαν. 4. τὸ κλέος αὐτὸν ἐκ τῶν ὕπνων ἀνίστη. 5. τὸ κλέος αὐτὸν ἐκ τῶν ὕπνων ἀνέστησε. 6. Περικλῆς πολλὰ τρόπαια ἀνέστησε. 7. Περικλῆς τοῖς ἀτυχέσι παρέστη. 8. παραστῆτε τοῖς ἀτυχέσιν. 9. οἱ Ἕλληνες τοὺς συμμάχους τοὺς ἀποστάντας ἀπὸ τῶν Ἀθηναίων ἐτίμησαν. 10. οἱ σύμμαχοι οἱ ἀποστάντες ἀπὸ τῶν Ἀθηναίων οὐκ ἄξιοί εἰσιν ἐπαίνου.

B.—1. ὁ Τάνταλος ἐν τῇ λίμνῃ διψώδης ἕστηκε. 2. κούφως φέρειν δεῖ τὴν παρεστῶσαν τύχην. 3. ἡ πόλις πρὸς Κῦρον ἀφέστηκε. 4. αἱ Ἰωνικαὶ πόλεις πᾶσαι πρὸς Κῦρον ἀφεστήκασι πλὴν Μιλήτου. 5. ὁ ἄγγελος ἔλεγεν τὰς Ἰωνικὰς πόλεις πάσας πρὸς Κῦρον ἀφεστάναι πλὴν Μιλήτου. 6. τρία ἐστὶν ἐξ ὧν ἡ πολιτεία συνέστηκεν, ὁ ἄρχων, ὁ δικαστὴς, ὁ ἰδιώτης.

Exercise LVI.

1. πρὸ μέθης ἀνίσταται. 2. Λύσανδρος, ὁ Σπαρτιάτης, ὀλιγαρχίαν ἐν Ἀθήναις καθίσταται. 3. ὑπὸ τῶν Σπαρτιατῶν ἐν ταῖς πλείσταις πόλεσιν ὀλιγαρχία καθίστατο. 4. οἱ Ἀθηναῖοι ναυτικὴν δύναμιν ἀξιόλογον συνεστήσαντο. 5. οἱ Σπαρτιᾶται τοὺς πολεμίους τρεψάμενοι τρόπαια ἐστήσαντο. 6. τοῖς κρατοῦσιν οὐκ ἀνθίσταντο. 7. μὴ ἀνθίστασο τοῖς κρατοῦσιν, ἀλλὰ μᾶλλον ὕπεικε. 8. οἱ θεοὶ τοῖς ἀργοῖσιν οὐ παρίστανται. 9. μὴ παρίστασθε τοῖς ἀργοῖς. 10. ὁ βασιλεὺς τὴν πόλιν ἐμπόριον κατεστήσατο.

Exercise LVII.

A.—1. τοῖς καλῶς ποιοῦσιν οἱ θεοὶ πολλὰ ἀγαθὰ τιθέασι. 2. τοῖς ἀνθρώποις θεὸς πολλὰ ἀγαθὰ ἔθηκε. 3. ὁ πόλεμος τοὺς τῶν ἀνθρώπων τρόπους μετέθηκε. 4. ὁ πόλεμος πάντα μεταθήσει. 5. ὁ σοφιστὴς τὴν ἀρετὴν προετίθη. 6. ἡ τύχη πάντα μετέθηκε. 7. ἀργάλεον γῆρας ἔθεσαν οἱ θεοί. 8. Περικλῆς χαλκῆν λέαιναν ἐν πύλαις τῆς ἀκροπόλεως ἀνέθηκε. 9. ὁ Λυκοῦργος τοῖς Λακεδαιμονίοις νόμους ἔθηκε. 10. κακὸν ἐσθλὸν (ἐτίθης) ἐτίθεις, see p. 119.

B.—1. ὁ πόλεμος πάντα μετετεθείκει. 2. σοὶ θωὴν ἐπιθήσω. 3. οἱ πολῖται ἐμοὶ θωὴν ἐπέθηκαν. 4. ἡ πόλις τοῖς σοφισταῖς θωὴν ἐπιτέθεικεν. 5. ὁ Λυκοῦργος νόμους γεγραμμένους οὐ ἐτεθείκει. 6. οἱ τὰς ἑαυτῶν οἰκίας καλῶς οἰκοῦντες τὰ κοινὰ τῆς πόλεως καλῶς διαθήσουσι. 7. οὐχ οἱ ἄνθρωποι, ἀλλ᾽ οἱ θεοὶ τοῖς ἀνθρώποις τοὺς τῶν πόλεων νόμους ἐτεθείκεσαν. 8. οἱ στρατηγοὶ ἀγῶνας ἔθεσαν. 9. οἱ στρατηγοὶ ἀσκῆσαι τὸ στράτευμα βουλόμενοι ἆθλα προὔθεσαν. 10. θέτε ἐν φρενῶν δέλτοισι τοὺς ἐμοὺς λόγους.

Exercise LVIII.

1. περὶ τὴν κεφαλὴν κρᾶνος χαλκοῦν περιτίθεται. 2. περὶ τὰς κεφαλὰς κράνη χαλκᾶ περιέθεντο. 3. περὶ τὰς κεφαλὰς κράνη χαλκᾶ περιθήσονται. 4. οἱ στρατιῶται ἀποθήσονται τοὺς στεφάνους. 5. οἱ στρατιῶται ἐπέθεντο τοὺς στεφάνους. 6. οἱ Λακεδαιμόνιοι ἐπέθεντο τοῖς Ἀθηναίοις. 7. Θεμιστοκλῆς ἔφυγεν εἰς τὸν τῶν Περσῶν βασιλέα καὶ παρώξυνεν αὐτὸν ἐπιθέσθαι τοῖς Ἀθηναίοις. 8. ἐφόδιον εἰς τὸ γῆρας κατέθετο. 9. οἱ πολῖται ἐφοβοῦντο μὴ οἱ πολέμιοι τῇ πόλει ἐπιθεῖντο. 10. οὐδένα ἀμείνω θησαυρὸν καταθήσεσθε τοῖς παισὶ τῆς αἰδοῦς.

Exercise LIX.

A.—1. οἱ θεοὶ πάντα διδόασιν. 2. οἱ θεοὶ πάντα δώσουσι. 3. ὦ θεός, δός μοι ὄλβον καὶ δόξαν ἀγαθὴν ἔχειν. 4. γυναιξὶν ἄρχειν οὐκ ἐδίδου ἡ φύσις. 5. ὁ πλοῦτος, ὃν θεὸς ἔδωκε, ἔμπεδός ἐστι. 6. ἐσθλῷ ἀνδρὶ καὶ ἐσθλὰ ἔδωκε θεός. 7. πτωχοῖς εὐθὺς δίδοσθε. 8. οἱ θεοί μοι δοῖεν φίλους πιστούς. 9. Ἀλκιβιάδης τὴν πόλιν τοῖς Λακεδαιμονίοις προὐδίδου. 10. Ἀλκιβιάδης τὴν πόλιν τοῖς Λακεδαιμονίοις προὔδωκε.

B.—1. δεῖ σε γενναίως φέρειν, ὅ τι ἂν οἱ θεοὶ διδῶσι. 2. τίς ἂν φίλον προδοίη; 3. οἱ θεοί μοι ἀντὶ κακῶν ἀγαθὰ ἔδωκαν. 4. οἱ θεοί μοι ἀντὶ κακῶν ἀγαθὰ ἐδεδώκεσαν. 5. Κῦρος τοῖς ἡλικιώταις πολλὰ δῶρα διεδίδου. 6. Κῦρος τοῖς στρατιώταις πολλὰ δῶρα διαδεδωκὼς τοῖς πολεμίοις ἐπιθήσεται. 7. Κῦρος τῷ μάντει τρισχιλίους δαρεικοὺς ἔδωκε. 8. οἱ Φοίνικες ἑκόντες ἑαυτοὺς δεδώκασι. 9. ἑκὼν ἑαυτὸν ἐδεδώκει. 10. τοὺς Πέρσας φασὶν ἑκόντας ἑαυτοὺς δεδωκέναι.

Exercise LX.

1. πάντα δέδοται παρὰ θεοῦ. 2. τοῖς στρατιώταις στέφανοι ἐδέδοντο παρὰ τῶν πολιτῶν. 3. οἱ στέφανοι οἱ δεδομένοι τοῖς στρατιώταις καλοί εἰσιν. 4. οἱ στρατηγοὶ ἀπέδοντο τοὺς ἐλευθέρους. 5. οἱ πολῖται φοβοῦνται μὴ οἱ πολέμιοι τοὺς ἐλευθέρους ἀποδιδῶνται. 6. οἱ πολῖται ἐφοβοῦντο μὴ οἱ πολέμιοι τοὺς ἐλευθέρους ἀποδίδοιντο. 7. οἱ πολῖται ἐφοβοῦντο μὴ ἡ πόλις προδίδοιτο. 8. ἀποδίδοσθε τὰ κύπελλα. 9. τοῖς ποιηταῖς πολλοὶ ἐδόθησαν κόσμοι. 10. τοῖς ποιηταῖς πολλοὶ δοθήσονται κόσμοι.

Exercise LXI.

1. ὁ φιλόσοφος οὐ παρίησι καλά. 2. οἱ στρατιῶται τοῖς πολεμίοις νίκην μεθίεσαν. 3. οἱ στρατιῶται τοῖς πολεμίοις νίκην μέθεσαν. 4. ἥλιος ἀκτῖνας ἐξίη. 5. ἥλιος ἀκτῖνας ἐξήσει. 6. Μοῦσαι ἀοιδὸν ἀνιᾶσιν ἀείδειν. 7. Μοῦσαι ἀοιδὸν ἄνεσαν ἀείδειν. 8. τὰ περισσεύοντα τῶν λόγων ἀφῆκε. 9. μέθεσαν τὰ δέοντα πράττειν. 10. πέδας εἰς τὸν Ἑλλήσποντον καθῆκε Ξέρξης.

Exercise LXII.

1. ἐκεῖσε ἀπίασι. 2. φεύγετε διχοστασίας καὶ ἔριν, πολέμου προσιόντος 3. οἱ πολῖται παρεσκευάζοντο ὡς ἀπιόντες πάλιν πρὸς τὴν πόλιν. 4. ἐφοβεῖτο μὴ Μανδάνη ἀπίοι πάλιν πρὸς τὸν ἄνδρα. 5. οἱ Λακεδαιμόνιοι ἐπῄεσαν τοῖς ἀντιταχθεῖσι. 6. οἱ φυγάδες κατίασι καὶ τα τείχη κατασκάψουσι. 7. οἱ πολῖται ἐφοβοῦντο μὴ οἱ φυγάδες κατίοιεν και κατασκάπτοιεν τὴν πόλιν. 8. Λακεδαιμονίων ἐμβαλόντων εἰς τὴν Ἀττικὴν, οἱ Ἀθηναῖοι οὐκ ἐπεξῄεσαν. 9. Δημήτηρ κατὰ πᾶσαν τὴν γῆν ζητοῦσα τὴν θυγατέρα Περσεφόνην περιεῖσι. 10. ὁ φιλόσοφος κατὰ πᾶσαν τὴν γῆν ζητῶν τὴν σοφίαν περιῄει.

Exercise LXIII.

1. τὴν ἀρετήν φασιν ὠφέλιμον εἶναι. 2. τὰς τέχνας πηγάς ἔφασαν τῶν καλῶν εἶναι. 3. οἱ Ἀθηναῖοί φασιν αὐτόχθονας ἑαυτοὺς εἶναι. 4. ἐὰν οἱ στρατηγοὶ τὴν πόλιν ἐξανδραποδίσωνται, φήσεις τούτους ἀδικεῖν; 5. τὰ Τέμπη εἶναι χῶρον ἔφησθα μεταξὺ κείμενον τοῦ τε Ὀλύμπου καὶ τῆς Ὄσσης. 6. κεῖσθαι τὴν Ὑρκανίαν ἔφη ἐν ἀριστερᾷ τῆς ὁδοῦ τῆς ἐπὶ Βάκτρα φερούσης. 7. ἤνθουν αἱ πόλεις, ἐν αἷς δικασταὶ δίκαιοι ἐκάθηντο. 8. ἐν Ἅιδου κάθηνται δικασταὶ δύο, Μίνως τε καὶ Ῥαδάμανθος, οἳ τοὺς νεκροὺς κρίνουσι. 9. αἱ γλαῦκες ἀνέκειντο τῇ Ἀθηνᾷ. 10. μὴ φεύγετε ἑταίρους ἐν κακοῖς κειμένους.

Exercise LXIV.

1. τὸν νεκρὸν ὁ κώκυτος οὐκ ὀνήσει. 2. σοφοῦ παρ' ἀνδρός φησιν αὐτὸν χρῆναι σοφόν τι μανθάνειν. 3. ἡ βουλὴ τοὺς Ἀργείους ὤνησε. 4. τῶν χρημάτων σοι τῶν ἐμῶν χρῆσω ὅ τι βούλει. 5. Παυσανίαν τὸν Λακεδαι-

μόνιον οὐδὲν ὠφέλει ἡ ἐν Πλαταιαῖς νίκη. 6. ἡ κολακεία ἀναπλήσει καὶ φίλους ἀπιστίας. 7. οἱ βάρβαροι πολλοὺς τῶν θεῶν νεὼς ἐνέπρησαν. 8. πρὸ πάντων χρή σε σωφροσύνην κτᾶσθαι. 9. οἱ πολῖται τῷ στρατηγῷ χρήματα ἔχρησαν. 10. οἱ τύραννοι ὤνησαν τοὺς φίλους.

Exercise LXV.

1. οὐκ ἔρανται πλουτεῖν. 2. τὸ ψεῦδος οὐ δυνάμεθα ἀληθὲς ποιεῖν. 3. πάντ' ἐπίστασαι καλά. 4. πάντες καλῶς ζῆν θέλετε, ἀλλ' οὐ δύνασθε. 5. τὰς μεταβολὰς τῆς τύχης γενναίως ἐπίσταται φέρειν. 6. ἵππους οὐκ ἠπίστατο θεραπεύειν. 7. οὐκ ἐδυνήθη τοὺς παῖδας παιδεῦσαι. 8. οὐκ ἐδυνήθησαν ἑαυτοῖς ἐπαμῦναι. 9. τὸ χρυσόμαλλον ἐν Χόλκοις φασὶ κρέμασθαι ἐκ δρυός. 10. ὁ φιλόσοφος τοὺς στρατιώτας τῆς ἀνδρίας ἠγάσατο.

Exercise LXVI.

1. οἱ θεοὶ ἡμῖν δίκαιον ἄνδρα ἐδείκνυσαν. 2. οἱ θεοὶ ἡμῖν δίκαιον ἄνδρα δείξουσι. 3. μὴ ἐπὶ μικροῖς ὀξυθύμους ὑμᾶς αὐτοὺς δείκνυτε. 4. ὁ Κῦρος τὸν Γωβρύαν ἀπεδεδείχει στρατηγόν. 5. οἱ ἀληθῶς σοφοὶ οὐκ ἐπιδείκνυνται τὴν αὑτῶν σοφίαν. 6. ὦ φιλόσοφοι, μὴ ἐνδείκνυσθε τὴν σοφίαν. 7. τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς ἐν τοῖς ἔργοις ἐνεδείκνυντο μᾶλλον ἢ ἐν τοῖς λόγοις. 8. στρατηγὸς ἀπεδείχθη ὁ Ἀλκιβιάδης. 9. οἱ κριταὶ τὰ ψηφίσματα ἀποδεδείχασι. 10. ὁ βασιλεὺς τὸν αὑτοῦ υἱὸν στρατηγὸν ἀπέδειξεν.

Exercise LXVII.

A.—1. στρωννύασι κοίτας. 2. στρώσουσι κοίτας. 3. τὸ πῦρ κατέσβεσαν. 4. τὸ πῦρ κατέσβη. 5. ὁ φιλόσοφος ἀποσκεδᾷ κήδεα θυμοῦ. 6. ὁ νεανίας πολυτελῆ στολὴν ἠμφίεσται. 7. οἱ νεανίαι πολυτελεῖς στολὰς ἀμφιοῦνται. 8. οἱ βάρβαροι τῶν Ἑλλήνων πολλοὺς ἐκρέμασαν. 9. ὕδωρ τὸ πῦρ κατασβέννυσιν, ὀργὴν δὲ ἔπος ἁβρόν. 10. ὁ κακὸς κρεμάννυται.

B.—1. ζεύξω τοὺς ἵππους. 2. Ἡρακλῆς ἐν Λέρνῃ πολυαύχενον ὀλεῖ ὕδραν. 3. εἰ μὴ φυλάξετε μικρὰ, ἀπολεῖτε τὰ μείζονα. 4. ὁ στρατηγὸς τῶν πολεμίων πολλοὺς ὀλώλεκε. 5. ὁ νεανίας ὄλωλε. 6. ὁ ἰσχυρὸς ἵππος ἐς τὴν δεξίαν σειρὰν ζεύγνυται τοῦ ἅρματος. 7. οἱ ἰσχυροὶ ἵπποι ἐς τὴν δεξίαν σειρὰν ἐζεύγνυντο τοῦ ἅρματος. 8. οἱ βάρβαροι πολλὰς πόλεις ἀπώλεσαν. 9. ὁ ἀσεβὴς νεανίας δαιμόνων χόλον ὦρσε. 10. οἱ ἀσεβεῖς νεανίαι δαιμόνων χόλον ὄρσουσι.

C.—1. θύραν τίς ἀνέῳξε; 2. θύραν τίς ἀνέῳχε; 3. ἐμίγη κακὰ ἐσθλοῖσιν. 4. ὅρκους φεύγετε, κἂν δικαίως ὀμνύητε. 5. δικαίως ὀμοῦνται. 6. ὤμοσαν οἱ δικασταὶ δικάσειν κατὰ τοὺς νόμους. 7. τὸ ὕδωρ τῆς κρήνης οἴνῳ οὐ μίξεται. 8. ἡ γῆ ἐξ ἀέρος καὶ πυρὸς συμπέπηγε. 9. Φρύγες οὔτ' ὀμνύασιν, οὔτ' ἄλλους ἐξορκοῦσιν. 10. οἱ θεοὶ ἄνδρας ἐξολέσειαν, οἳ τοὺς ἑταίρους ἐξαπατᾶν θέλουσι.

EXERCISE LXVIII.

A.—1. Τρῶες ὤσουσιν Ἀχαίους. 2. οἱ ἄνδρες ἔγημαν τὰς καλὰς θυγατέρας τοῦ φιλοσόφου. 3. οἱ ἄνδρες γαμοῦσι τὰς καλὰς θυγατέρας τοῦ φιλοσόφου. 4. Μήδεια ἐγήματο τὸν ἥρω. 5. οἱ λέοντες ἐπιῤῥίψουσιν ἑαυτοὺς τῇ λείᾳ. 6. οἱ ἀληθῶς σοφοὶ οὐ δοκεῖν ἄριστοι ἀλλ' εἶναι θέλουσι. 7. ἐβουλεύσαντο μὲν βραδέως, ἐπετέλεσαν δὲ ταχέως τὰ δόξαντα. 8. ἔδοξεν ἡμῖν μένουσι καρτερεῖν. 9. ἠχθέσθη τρέφων ἡμᾶς. 10. ἐλπίδες οὔποτε καθευδήσουσι.

B.—1. Μήδεια Αἴσονα ἀνήψησε. 2. αἱ ἐλπίδες βοσκήσουσι τοὺς κενοὺς βροτῶν. 3. τὰς γαστέρας βοσκήσουσι. 4. κινδύνους ἀλέξει. 5. οἱ πολῖται Ἀλέξανδρον θεὸν χειροτονῆσαι ἐβουλήθησαν. 6. ὁ ἀνὴρ ὀλίγων δεήσεται. 7. ἠρόμην αὐτὸν τίνες εἰσὶν οἱ σοφισταί. 8. τοῖς ἀγαθοῖς τῆς ἀρετῆς μελεῖ. 9. ἀφ' ἵππου ἐμάχετο Κῦρος. 10. τῷ Ἀσκληπίῳ ὠφειλήσαμεν ἀλεκτρύονας.

EXERCISE LXIX.

A.—1. οὐ φθίσεται ἀρετή. 2. ἐτίσαμεν δίκας (*or* δίκην). 3. Ἀθηνᾶς μῆνις ἐλᾷ με. 4. τοὺς τῶν θεῶν νόμους παρέβημεν. 5. δείλῃ τεμοῦσιν ὀπώραν. 6. φιλοῦσι τοῖς κάμνουσι συσπεύδειν οἱ θεοί. 7. σοφοῖς ὁμιλοῦντες καὐτοὶ (καὶ αὐτοὶ) ἐξέβησαν σοφοί. 8. βεβήκασιν αἱ θυγατέρες τὴν πανυστάτην ὁδῶν ἁπασῶν. 9. ὁ παῖς ἐδήχθη ὑπὸ ὄφεως. 10. οἱ παῖδες ἐτελεύτησαν δηχθέντες ὑπὸ ὄφεων.

B.—1. ὁ Ἡρακλῆς τὸ ῥόπαλον αὐτὸς τεμεῖ ἐκ Νεμέας. 2. οἱ Ἕλληνες ὑπερβάντες τὸν ποταμὸν τοὺς βαρβάρους ἐνίκησαν. 3. ὁ ἀνὴρ φθάνει τοὺς φίλους εὐεργετῶν. 4. Κλεισθένης ἐξελᾷ τοὺς Πεισιστρατίδας καὶ καταλύσει τὴν τυραννίδα. 5. οἱ πολῖται τοὺς τυράννους ἐξεληλάκασι. 6. τοὺς κακούργους οἱ θεοὶ ἀπετίσαντο. 7. ὁ στρατηγὸς τοὺς πολεμίους ἔφθη εἰς τὴν πόλιν φυγών. 8. οἱ βάρβαροι Ἀττικὴν τετμήκασι. 9. ὁ πρέσβυς εἰς τὴν πόλιν ἀφίκται. 10. οἱ πρέσβεις ὑπέσχοντο ἀφίξεσθαι.

EXERCISE LXX.

A.—1. πᾶν ἔργον ἡ μελέτη αὔξει. 2. οἱ φιλόσοφοι τοῖς πολίταις ἀπεχθήσονται. 3. πείθεσθε λέγοντι κοὐχ ἁμαρτήσεσθέ ποτε. 4. ἄκοντες οἱ ἁμαρτόντες οὐ κακοί. 5. εἰς θεοὺς καὶ λόγῳ καὶ ἔργῳ ἡμαρτήκει. 6. λόγῳ ἡγεμόνι ἐν παντὶ χρώμενοι οὐχ ἁμαρτήσουσι. 7. αἱ κύνες ᾔσθοντο τῶν λαγῶν. 8. Τάνταλος ᾔσθετο τοῦ ὕδατος προσιόντος αὐτῷ. 9. Φίλιππος διὰ χρυσίου μᾶλλον ἢ διὰ τῶν ὅπλων αὐξήσει τὴν ἰδίαν βασιλείαν. 10. ὁ στρατηγὸς προσιόντων αἰσθόμενος τῶν πολεμίων τὴν λείαν ἅπασαν κατέθετο εἰς Θρᾷκας.

B.—1. κέρδος πονηρὸν ὁ ἀγαθὸς οὐ λήψεται. 2. δίκαια δράσαντες συμμάχων ἔτυχον τῶν θεῶν. 3. οἱ παῖδες ἔμαθον γράμματα. 4. οἱ παῖδες

ἐδήγοι τοῦ κυνός. 5. οἱ πο᾽ ᾽ται ἐπύθοντο τῆς λυγρᾶς ἀγγελίας. 6. οἱ κακοῦργοι τοὺς πολίτας ἔλαθον. 7. γενναίων φίλων τεύξονται. 8. φέρειν τὰς συμφορὰς μεμαθήκασι. 9. οἱ στρατιῶται τιμῆς καὶ δόξης ἔλαχον. 10. ἀπ' ἐσθλῶν ἐσθλὰ μεμάθηκε.

EXERCISE LXXI.

A.—1. ὀλίγους εὗρεν ἄνδρας ὁ βασιλεὺς ἑταίρους πιστούς. 2. ὁ φιλόσοφος τέθνηκεν. 3. γενναίως θανεῖται ὁ εὐγενής. 4. πενθεῖ τὸν φίλον τὸν τεθνηκότα. 5. ὁ φιλόσοφος γεγήρακε. 6. οἱ σοφισταί φασι τὴν σοφίαν αὐτοὶ εὑρηκέναι. 7. εὖ παθόντες ἀμνημονοῦσι. 8. ἐμνήσθησαι νέοι ὄντες ὡς γέραιοι ἔσονταί ποτε. 9. οἱ σωθέντες ἐμνήσθησαν τῶν πόνων. 10. ἀνέμνησέ σε τὴν τῶν προγόνων ἀρετήν.

B.—1. οἱ οἰκέται ἀπέδρασαν τῆς νυκτός. 2. ἢν οἱ οἰκέται ἀποδρῶσιν ὑμᾶς καὶ λάβητε αὐτούς, τί αὐτοῖς χρήσεσθε; 3. αἱ πόλεις ὑπὸ τῶν βαρβάρων ἑάλωσαν. 4. δεκάτῳ ἔτει τῆς πολιορκίας Ἴλιόν φασιν ὑπὸ τῶν Ἀχαίων ἁλῶναι. 5. Θρασύβουλος πολλὰ χρήματα ἀναλώσεται ἐς στρατιώτας. 6. ἡ φύσις τοὺς παῖδας διδάσκει τοὺς πατέρας ἐν γήρᾳ τρέφειν. 7. οἱ στρατηγοὶ ἁλόντες ἐπὶ τὴν πυρὰν ὑπὸ τοῦ βασιλέως ἀνήχθησαν. 8. Τροία ἑάλω. 9. οἱ πολῖται δικαίαν θέσθαι τὴν ψῆφον δεδιδαγμένοι εἰσί. 10. οἱ Σπαρτιᾶται τοὺς Εἵλωτας ἐμέθυσαν.

EXERCISE LXXII.

A.—1. οἱ πολέμιοι ᾑρήκασι τὴν πόλιν. 2. Θεμιστοκλῆς ὑπὸ τῶν Αθηναίων ᾑρέθη στρατηγὸς ἐν τῷ Περσικῷ πολέμῳ. 3. οἱ στρατιῶται εἰς τὴν πόλιν ἐληλύθασι. 4. Ἡρακλῆς Ἅιδου μέγα δῶμα εἶδε. 5. μετρίως ἔδονται. 6. φρονούντων τοὺς λόγους ἀνδρῶν εἶπε. 7. φρονούντων τοὺς λόγους ἀνδρῶν ἐρεῖ. 8. τὴν αὐτὴν ὁδόν, ἣν πᾶσιν ἐλθεῖν ἔστ' ἀνάγκη προῆλθε. 9. ξένους πένητας εἶδε. 10. ξένους πένητας οὐ παραδραμεῖται ἰδών.

B.—1. οἱ στρατηγοὶ ὑπὸ τῶν στρατιωτῶν ὤφθησαν. 2. ὁ ἄγγελος τὴν ἀγγελίαν ἤνεγκε. 3. λύπην ἐῤῥωμένως ἤνεγκε. 4. τοὺς φίλους δι' ὀργὴν ἐν κακοῖς οὐ περιόψεται. 5. μήπω μέγαν εἴπητε πρὶν τελευτήσαντ' ἴδητε. 6. συνέπιον. 7. οι πίονται τοῦ οἴνου. 8. ὁ οἶνος ὑπὸ τῶν πολιτῶν πέποται. 9. ὁ υἱὸς τὰ πατρῷα κατέφαγε. 10. ἦλθεν, εἶδεν, ἐνίκησε.

EXERCISE LXXIII.

1. ἡ στρατιὰ ἐκπέπλευκε. 2. ἄνεμος ἐναντίος τῇ στρατιᾷ πνευσεῖται. 3. οἱ ἄνδρες ἐκνεύσονται. 4. ὁ στρατιώτης πρὸς τὴν πύλην τῆς πόλεως θευσεῖται. 5. ὁ φιλόσοφος κέκλαυκε τἀνθρώπινα. 6. οὐκ ἔκλαυσαν τοὺς ἀτυχεῖς φίλους. 7. οἱ ἄνεμοι ἐναντίοι ταῖς ναυσὶν πεπνεύκασιν. 8. οἱ δοῦλοι τὸ ὕδωρ ἔχεαν. 9. οἱ πολέμιοι τὰς τῶν Ἑλλήνων τάξεις συγκεχύκασι. 10. αἱ νῆες ἐξέπλευσαν.

Exercise LXXIV.

1. οἱ πατέρες ἀποβαλόντες τοὺς υἱοὺς ἔκλαυσαν. 2. ἡ Κορινθια χώρα ἀπὸ Κορίνθου, Διὸς υἱοῦ, τὸ ὄνομα σχήσει. 3. τὸ στενὸν Ἑλλήσποντον ἐκάλεσαν οἱ θεοί. 4. ὁ βασιλεὺς πόλεις πολλὰς ἔσχηκε καὶ σχήσει. 5. οἱ στρατιῶται εἰς τοὺς πολεμίους ἐνεπεπτώκεσαν. 6. οἱ ἑταῖροι καταπηδήσαντες ἀπὸ τῶν ἵππων περιέπεσον Κύρῳ. 7. ἐν ταύτῃ τῇ πόλει ἐγένετο καὶ ἐτράφη. 8. Προκλῆς γέγονεν ἀπὸ Δαμαράτου τοῦ Λάκωνος. 9. ἡ μήτηρ ἔτεκε τέκνον καλόν. 10. ταῦτα πόλεμον καὶ ἔχθραν τετόκασι καὶ τέξονται.

Exercise LXXV.

A.—1. ἔγνω ἑαυτόν. 2. γνῶτε ὑμᾶς αὐτούς. 3. οὐκ ἔτλη με προδοῦναι. 4. μὴ τλῆτε ἡμᾶς προδοῦναι. 5. εἰς τὴν πόλιν ἔβη. 6. μὴ βῇς εἰς τὴν πόλιν. 7. ἁπλοῖ οἱ μῦθοι τῆς ἀληθείας ἔφυσαν. 8. ὀργιζόμενοι ἄνθρωποι οὐκ ἂν εὖ γνοῖεν. 9. ὁ Ἡρακλῆς ἐπὶ τὸν Κέρβερον κύνα κατέβη. 10. Δαίδαλος καὶ Ἴκαρος ποιήσαντε πτέρυγας ἐξεπτήτην.

B.—1. οἱ πρῶτοι ἄνθρωποι ἐκ τῆς Ἀττικῆς ἀνέφυσαν. 2. κατὰ τὸν Πελοποννησιακὸν πόλεμον αἱ πόλεις ἐν τῇ νήσῳ Λέσβῳ ὑπ' Ἀθηναίων ἑάλωσαν. 3. ὁ Πλάτων ἐβίω ἔτος ἓν πρὸς τοῖς ὀγδοήκοντα. 4. λέγεται ὁ φιλόσοφος ἑκατὸν ἔτη βεβιωκέναι. 5. δισχίλιοι Ἀθηναίων ἐπὶ τὰς ναῦς ἐπέβησαν. 6. αἱ πόλεις ὑπὸ τῶν πολεμίων ἁλοῦσαι κατεσκάφησαν. 7. οἱ πατέρες τῷ παιδὶ συνέγνωσαν. 8. οἱ πονηροί, εἴς τι καταδύντες τοῦ κόσμου μέρος καὶ ἀποκρύψαντες ἑαυτούς, πιστεύουσιν ὅτι τὸν θεὸν ἀποπεφεύγασιν. 9. οἱ δοῦλοι ἀπέδρασαν τοὺς δεσπότας. 10. οὔποτε ἑαυτὸν ἀπέγνω.

Exercise LXXVI.

1. οἱ μάντεις προίσασι τὰ μέλλοντα. 2. προῄδειμεν μάντεις τὰ μέλλοντα. 3. ὁ ἀγαθὸς πάντων μέτρον οἶδεν ἔχειν. 4. θεοὺς αἰδεῖται καὶ δέδιε. 5. θεοὺς ᾐδέσαντο καὶ ἔδεισαν. 6. οὔτε τοὺς θεοὺς αἰδεῖσθαι οἶδεν οὔτε δεδιέναι. 7. Ἰνδοὶ οὔτε ἐδάνεισαν οὔτε ἴσασι δανείζεσθαι. 8. ἡ θυγάτηρ τῇ μητρὶ ἔοικε.

LONDON: PRINTED BY WILLIAM CLOWES AND SONS, LIMITED, STAMFORD STREET AND CHARING CROSS.

KEY

TO THE

ADDITIONAL EXERCISES

IN THE

APPENDIX

TO

INITIA GRÆCA, PART I.

By REV. C. R. BARKER, M.A.

This Key is entrusted confidentially to

....

....

being intended for Schoolmasters, Tutors, and Instructors only.

LONDON:
JOHN MURRAY, ALBEMARLE STREET
1881.

Price One Shilling.